Excellentiam enim cupit iuuentus. & victoria excellentia quædam eſt, & ambo hæc magis ſunt, quàm vt ſint ſtudioſi pecuniarum. Studioſi autem pecuniarũ ſunt minimum, quia nondum indigentiam experti ſunt: quemadmodum Pittaci ſe habet apophthegma in Amphiaraum. Et nõ malorum morum, ſed bonorũ, quia nondum conſpexerunt multa mala. Et creduli, quia nondum in multis decepti ſunt. Et bonæ ſpei. vt enim temulenti, ſic calidi ſunt iuuenes natura. Simul verò etiam quia nondum in multis opinione lapſi ſunt, & viuunt vt plurimum ſpe. Nam ſpes futuri eſt, memoria verò præteriti. iuuenes autem futuri multum habent, præteriti verò parum. Primo enim tempore ſe meminiſſe nihil arbitrantur, ſperare autem omnia. Et idonei ſunt, qui decipiantur, ob id, quod dictum eſt. Sperant enim facilè. Et viriliores. iracundi enim, & bonæ ſpei, quorum illud, vt ne metuant, hoc, vt confidant, efficit. Nemo enim, qui iraſcitur, metuit. Sperare autem aliquid boni, afferendæ fidentiæ vim habet. Et verecundi: nondum enim honeſta alia arbitrantur, ſed eruditi ſunt à lege ſolum. Et magnanimi: nondum enim à vita depreſſi ſunt, ſed rerum neceſſariarum experientiam non habent, & exiſtimare ſe dignum magnis, magnanimitas eſt. hoc autem eſt eius, qui bene ſperat. Et magis eligunt agere honeſta, quàm vtilia. moribus enim viuunt magis, quàm boni ratione. Eſt autem boni ratio eius, quod vtile eſt: virtus verò eius, quod honeſtum. Et ſtudioſi amicorum, & ſtudioſi ſodalium magis, quàm aliæ ætates, quia gaudent conuictu, & ad vtilitatem iudicant nihil. Quare ne amicos quidem. Et omnia in maius & vehementius peccata faciunt contra dictum Chilonis: omnia enim nimis agunt. nam amant nimis, & nimio odio habent, & alia omnia ſimiliter, quippe qui ſe ſcire omnia putant, & aſſeuerant. Hæc autẽ cauſſa eſt, cur omnia nimis. Et iniurias inferunt ad contumeliam, & non malitiam. Et miſericordes ſunt, quia omnes bonos, & meliores exiſtimant: ſua enim ipſorum innocentia cæteros metiuntur. Quare indigna pati exiſtimant ipſos. Et ſtudioſi riſus. Quamobrem etiam faceti. Nam facetiæ erudita contumelia ſunt. Ac iuuenum quidem tales mores ſunt.

A ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης· ἡ δὲ νίκη, ὑπεροχή τις. καὶ ἄμφω ταῦτα μᾶλλον, ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ, ἥκιστα, διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι· ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. καὶ οὐ κακοήθεις, ἀλλ' εὐήθεις, διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας. καὶ εὔπιστοι, διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. καὶ εὐέλπιδες· ὥσ-B περ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοι εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μήπω πολλὰ ἀποτετυχηκέναι. καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς, τοῦ μέλλοντός ἐστιν· ἡ δὲ μνήμη, τοῦ παροιχομένου. τοῖς δὲ νέοις, τὸ μὲν μέλλον, πολὺ· τὸ δὲ παρεληλυθὸς, βραχύ· τῇ γὰρ πρώτῃ ἡμέρᾳ, μεμνῆσθαι μὲν οὐδὲν οἴονται, ἐλπίζειν δὲ πάντα. καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. C καὶ ἀνδρειότεροι. θυμώδεις γὰρ καὶ εὐέλπιδες· ὧν, τὸ μὲν, μὴ φοβεῖσθαι· τὸ δὲ, θαρρεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται· τό, τε ἐλπίζειν ἀγαθόν τι, θαρραλέον ἐστί. καὶ αἰσχυντηλοί· οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσι, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον. καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου οὔπω τεταπείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄ-D πειροί εἰσι· καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων, μεγαλοψυχία· τοῦτο δ', εὐέλπιδος. καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ, τῶν συμφερόντων· τῷ γὰρ ἤθει ζῶσι μᾶλλον, ἢ τῷ λογισμῷ. ἔστι δ', ὁ μὲν λογισμὸς, τοῦ συμφέροντος· ἡ δὲ ἀρετὴ, τοῦ καλοῦ. καὶ φιλόφιλοι, καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν, διὰ τὸ χαίρειν τῷ συζῆν, καὶ μήπω πρὸς τὸ συμφέ-E ρον κρίνειν μηδὲν ὥστε μηδὲ τοὺς φίλους. καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσι· φιλοῦσί τε γὰρ ἄγαν, καὶ μισοῦσιν ἄγαν, καὶ τἆλλα πάντα ὁμοίως. οἱ καὶ εἰδέναι πάντα οἴονται, καὶ διϊσχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστι καὶ τοῦ πάντα ἄγαν. καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, καὶ οὐ κακουργίαν. καὶ ἐλεητικοὶ, διὰ τὸ πάντας F χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν· ὥστ' ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. καὶ φιλογέλωτες· διὸ καὶ εὐτράπελοι· ἡ γὰρ εὐτραπελία, πεπαιδευμένη ὕβρις ἐστί. τὸ μὲν οὖν τῶν νέων, τοιοῦτον ἦθός ἐστι.

Κεφάλαιον